www.tezaurliturgic.ro

+

ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΣΥΝΑΞΕΩΣ

# ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΤΗι ΙΕΡΑι ΜΗΤΡΟΠΟΛΕΙ ΓΟΡΤΥΝΟΣ & ΜΕΓΑΛΟΠΟΛΕΩΣ ΑΓΙΩΝ

( ἑορταζομένων τῇ πρώτῃ Κυριακῇ τοῦ Ὀκτωβρίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ὑ' * 2000 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΤΗι ΠΡΩΤΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ ΨΑΛΛΕΤΑΙ Η ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΣΥΝΑΞΕΩΣ ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΓΟΡΤΥΝΙΑι ΑΓΙΩΝ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν δ' ἀναστάσιμα τοῦ ἤχου καὶ τὰ ἀκόλουθα στ' προσόμοια τῶν Ἁγίων.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Γορτυνία εὐφραίνεται,
καὶ σκιρτᾷ Μεγαλόπολις,
μνήμην ἑορτάζουσαι τὴν εὐφρόσυνον,
τῶν ὅσοι ἔνθεν ἐξήνθησαν,
καὶ στέφος ἐδέξαντο,
ἁγιότητος λαμπρόν,
καὶ Χριστῷ νῦν παρίστανται,
ἱκετεύοντες,
ὑπὲρ πάντων τῶν πίστει προστρεχόντων,
ταῖς αὐτῶν θείαις πρεσβείαις,
ὡς συμπολῖται χριστώνυμοι.

Ἐκ παιδὸς Ἀθανάσιε,
ὁ Χριστὸς σὲ ἐκάλεσεν,
ἱεράρχην τίμιον ἀναδείξας σε,
ὡς τῶν γηΐνων ὑπέρφρονα,
καὶ ἔμπλεων Πνεύματος,
δι᾽ Οὗ πάνυ εὐλαβῶς,
τοὺς πιστοὺς κατεποίμανας,
ὅθεν εἴληφας,



ΑΘΘΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν θαυμάτων τὴν χάριν παραδόξως,
ἐν ζωῇ καὶ μετὰ πότμον,
καὶ Γορτυνίων προΐστασαι.

Δημητσάνης ἐξέφυσαν,
πατριάρχαι θεόσοφοι,
Κωνσταντινουπόλεως προεδρεύσαντες,
ὁ ἱερὸς Διονύσιος,
καὶ μέγας Γρηγόριος,
ὁ ἀγχόνῃ κρεμασθείς,
καὶ λαβὼν στέφος ἄφθαρτον,
ἐκ τοῦ Κτίσαντος·
ὃν ἀεὶ δυσωποῦσιν ὑπὲρ πάντων,
τῶν ἐκ πόθου αἰτουμένων,
τὴν μεσιτείαν πρὸς Κύριον.

Ποιμενάρχην χριστόψυχον,
ἱεράρχην μακάριον,
τὸν σεπτὸν Θεόκλητον  μεγαλύνωμεν,
τὸν ἐκ Στεμνίτσης βλαστήσαντα,
καὶ τῆς Λακεδαίμονος,
προεδρεύσαντα σοφῶς,
καὶ σὺν τούτῳ Λεόντιον,
ὁμοχώριον,
τὸν ἀσκήσει τὸν βίον διελθόντα,
καὶ ὁσίοις συνταχθέντα,
ὑπὲρ ἡμῶν δὲ πρεσβεύοντα.

Θεοδώραν τὴν πάντιμον,
τὴν ἐν Βάστᾳ τιμήσωμεν,
τὴν συκοφαντίαν καθυπομείνασαν,
καὶ τὸν θεόπνουν Γεράσιμον,
Μονῆς τὸν δομήτορα,
Μακρυνίτσης καὶ Χριστόν,
ἐν ἀσκήσει δοξάσαντα,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

οὓς προσάξωμεν,
πρεσβευτὰς θεοδέκτους καὶ μεσίτας,
ἵνα λάβωμεν τὴν λύσιν,
τῶν αἰτημάτων Γορτύνιοι.

Πλάνην Ἄγαρ κατῄσχυναν,
Ρωμανὸς γενναιόψυχος,
καὶ ὁ Δημητσάνης γόνος Εὐθύμιος,
ἐν παῤῥησίᾳ κηρύξαντες,
τοῦ Λόγου θεότητα,
πρὸ τυράννων δυσσεβῶν,
καὶ τῇ χύσει τοῦ αἵματος,
δόξαν ἔλαβον,
καὶ χαρὰ Ἐκκλησίας Ὀρθοδόξων,
ἀνεδείχθησαν καὶ πάντων,
Χριστιανῶν πρέσβεις τίμιοι.

Δόξα. Ἦχος πλ.β'.

Τὸν ἐννεάριθμον Ἁγίων χορόν,
τῶν ἡμετέρων ἀγρύπνων φυλάκων,
τῶν ἐξανθησάντων ἐκ τῆς φίλης ἡμῶν πατρίδος,
δεῦτε σήμερον, Γορτύνιοι, πανευλαβῶς τιμήσωμεν·
Οὗτοι γὰρ τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον φιλοτίμως πληρώσαντες,
ὅση ἑκάστῳ δύναμις,
τὸν στέφανον ἀπειλήφασι τῆς ἁγιότητος,
καὶ ὡς φιλάδελφοι πρεσβεύουσιν ἀεὶ τῷ Κυρίῳ,
ὑπὲρ τῶν ὧδε χριστωνύμων,
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὸ Θεοτοκίον τοῦ ἤχου.
Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ἀναγνώσματα.
Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
(γ' 1 - 9)



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα
### (ε' 15 - στ' 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῶν καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(δ' 7 - 15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα
Ἦχος α'.

Ἀγγελικῶν ταγμάτων ἰσάριθμοι
καὶ τῆς τούτων πολιτείας συνόμιλοι,
ἀνεδείχθητε Ἅγιοι,
ἐκ τῆς φιλτάτης Πατρίδος ἡμῶν Γορτυνίας,
κατοσφραίνοντες τὰς πνευματικὰς αἰσθήσεις τῶν πιστῶν,
τῇ εὐωδίᾳ τῶν θεοειδῶν ἀρετῶν ὑμῶν,
καὶ ὁδηγοῦντες ἀσφαλῶς πάντας εἰς θεομιμησίαν.
Πρεσβεύσατε δεόμεθα ὡς παῤῥησίαν ἔχοντες τῷ Χριστῷ,
ὅπως χαρίζηται πλουσιόδωρον εἰρήνην,
καὶ σωτηρίαν ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος β'.

Τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος ἡ ἄγονος γῆ τῆς Γορτυνίας,
χριστόφυτα ἄνθη παραδόξως ἐβλάστησεν,

καταπλουτήσασα φαιδρῶς τὴν Ἐκκλησίαν·
Δυάδα θεοφιλῶν Πατριαρχῶν,
καὶ ζεῦγος ἀρχιερέων τιμίων,
τρισαρίθμους ὁσίους,
καὶ δύο νεομάρτυρας.
Οὓς τῷ Κυρίῳ προσάγουσα δῶρα ὡς πολυτελῆ,
αἰτεῖται χάριν οὐράνιον,
καὶ εὐλογίαν τοῖς ἁπανταχοῦ ἐκγόνοις αὐτῆς.

Ἦχος γ'.

Καυχᾶται ἐν Κυρίῳ ἡ εὔανδρος Γορτυνία,
ὡς ἐξαναστήσασα Ἁγίους, ἐπιθυμητὰς τοῦ Πνεύματος·
Ἀθανάσιον τὸν θαυματουργὸν ἱεράρχην,
Διονύσιον καὶ Γρηγόριον τοὺς Οἰκουμενικοὺς Πατριάρχας,
Θεόκλητον τὸν πάνσοφον τῆς Λακεδαίμονος ποιμένα,
Λεόντιον, Γεράσιμον καὶ Θεοδώραν τοὺς μάρτυρας τῆς συνειδήσεως,
καὶ τῶν νεομαρτύρων τὴν ἔνδοξον δυάδα, Ρωμανόν τε καὶ Εὐθύμιον·
τούτους παριστῶσα ὡς καλλίτεκνος μήτηρ τῷ Κυρίῳ,
ψαλμικῶς ἀνακραυγάζει·
ἰδοὺ ἐγὼ καὶ τὰ παιδία μου, Κύριε,
ὧν δέχου εὐμενῶς τὰς πρεσβείας,
καὶ ἀντίδος τοῖς περιλειπομένοις μου τέκνοις,
πᾶσαν εὐλογίαν οὐράνιον.

Ἦχος δ'.

Θεομητορικὸν θησαυροφυλάκιον, πέφυκε καὶ Γορτυνία·
ἔχει γὰρ ὑπὲρ τὸ χρυσίον καὶ ἀργύριον ἐν τοῖς κόλποις αὐτῆς,
τῆς Πανάγνου Θεοτόκου τὰς ἱερὰς καὶ θαυματουργοὺς Μορφάς·
Τὴν Φιλοσοφίτισσαν καὶ Κερνιτσιώτισσαν,
τὴν Αἱμυαλίτισσαν καὶ Καλαμιώτισσαν,
τὴν Χρυσοσπηγὴν καὶ Τριχεροῦσαν,
ἅμα δὲ τὴν Βαλτσενικιώτισσάν τε καὶ Κλειβωκιώτισσαν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ταύταις ἀεὶ προσπίπτουσα ἐν πίστει,
λαμβάνει ἐκ τῆς Παναχράντου εὐχερῶς αἰτημάτων τὴν λύσιν,
καὶ αὔξει εἰς ἁγιότητα.

Δόξα. Ἦχος πλ.α'.

Τοὺς γοργοὺς προστάτας τῆς Γορτυνίας συνεορτάζομεν φαιδρῶς,
φιλάγιοι Γορτύνιοι,
ὡς συναίμους τε καὶ συντοπίτας,
καὶ ὡς ἀπαρχὰς τῆς πατρίδος ἡμῶν,
εἰς τὴν ἐπουράνιον Σιών.
Τούτων τοὺς θαυμαστοὺς βίους ἐκμιμούμενοι,
καὶ τὰς θεοπειθεῖς εὐχὰς ἐπικαλούμενοι,
ὁδεύσωμεν πάντες εὐελπίστως,
τὴν ὁδὸν τῆς ἁγιότητος.

Καὶ νῦν. Μακαρίζομέν σε.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Πρῶτον τὸ ἀναστάσιμον, εἶτα τὰ παρόντα τῶν Ἁγίων.
Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ἔχει Γορτυνία πρὸς Θεόν,
πρέσβεις δυνατοὺς τοὺς Ἁγίους,
οὓς περ ἐξήνθησε,
Χριστιανουπόλεως
τὸν Ἀθανάσιον,
καὶ Προέδρους τῆς Πόλεως,
σὺν Διονυσίῳ,
τὸν κλεινὸν Γρηγόριον
καὶ τὸν Θεόκλητον,
Λακεδαιμονίων ποιμένα·
οὗτοι γὰρ Χριστὸν δυσωποῦσιν,
ὑπὲρ Γορτυνίων ὡς φιλότοποι.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

Τῆς συκοφαντίας τὸν σταυρόν,
ἦρε Θεοδώρα τῆς Βάστας θεῖον ἐκλβλάστημα,
καὶ σφαγῇ ἀπέλαβε,
παρὰ Χριστοῦ τὸν μισθόν,
ὁ Λεόντιος πάλιν δέ,
Στεμνίτσης ὁ γόνος,
ἐν ἀσκήσει ἔλαμψεν,
ὥσπερ πυρσὸς ἐν νυκτί,
γέρας δὲ ὁσίων ἐδείχθη,
ὁ Μονῆς θεόσοφος κτίτωρ,
ἐν Πηλίῳ πάντιμος Γεράσιμος.

*Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος*

Ἔπνιξαν αἱμάτων ταῖς ῥοαῖς,
ἄγαρ σκοτομόρφου τὴν πλάνην,
ὁ ἱερὸς Ρωμανός,
καὶ κλεινὸς Εὐθύμιος,
νεομαρτύρων δυάς,
εἰληφότες δὲ ἄφθαρτον,
βραβεῖον τῆς νίκης,
νῦν καθικετεύουσιν,
ὑπὲρ τῶν ὅσοι πιστῶς,
μνήμην τὴν αὐτῶν ἐκτελοῦσι,
καὶ ἀντιδωροῦσιν ἐξ ὕψους,
θείων χαρισμάτων πλῆθος ἄπειρον.

Δόξα. Ἦχος δ'.

Χαίρει ἡ Ἐκκλησία τοῦ Χριστοῦ,
ὅτι τοῦ Εὐαγγελίου ὁ λόγος,
ἐν Γορτυνίᾳ ἀρχαιόθεν κατασπαρείς,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εἰς ἑκατὸν καλλικάρπως ἐκαρποφόρησεν·
ἰδοὺ γὰρ ὅτι αὕτη Ἀρχιερεῖς ἁγίους ἐξήνθησεν,
Ὁσίους τε ἐνθέους, καὶ Νεομάρτυρας γενναιοψύχους,
καὶ ὡς δῶρα εὐχαριστίας προσενήνοχεν τούτους
τῷ Παντοκράτορι Θεῷ,
παρ᾽ Οὗ καὶ ἐκδέχεται πλουσιοδώρως,
τὴν Χάριν τοῦ Πνεύματος.

Καὶ νῦν, ἦχος ὁ αὐτός. Νεῦσον παρακλήσεσι.

Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. (παλαιόν). Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν πολυθαύμαστον ὑμνοῦμεν Γόρτυνα,
τὴν ἐξανθήσασαν ἄνθη τὰ εὔοσμα,
σὺν Εὐθυμίῳ τῷ κλεινῷ,
Γρηγόριον τὸν θεόπνουν·
θεῖον Ἀθανάσιον,
Διονύσιον πάνσοφον,
ὅσιον Θεόκλητον,
Ρωμανὸν καὶ Λεόντιον,
Γεράσιμον σεμνὴν Θεοδώραν,
τοὺς πρεσβευτὰς ἡμῶν πρὸς Κύριον.

Ἕτερον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Γορτυνίων τὰ πλήθη τοὺς Ἁγίους τιμήσωμεν,
οὓς ὥσπερ καρποὺς ἡδυτάτους,
ἡ πατρὶς ἡμῶν ἤνθησε·
Θεόκλητον, Γρηγόριον σεπτόν,
Λεόντιον, Γεράσιμον κλεινόν,
Διονύσιον, Εὐθύμιον, Ρωμανόν,
καὶ θεῖον Ἀθανάσιον,
ἔτι τῆς παρθενίας καλλονήν,

πάνσεμνον Θεοδώραν τε·
οὗτοι γὰρ πρέσβεις πρὸς Χριστόν,
ὑπὲρ ἡμῶν τυγχάνουσι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὴν α' στιχολογίαν. Καθίσματα ἀναστάσιμα.
Εἰς τὴν β' στιχολογίαν.
Κάθισμα τῶν Ἁγίων. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Φαιδροτάτη σύναξις,
ἡμῖν ἐπέστη,
συγκαλοῦσα ἅπαντας
τοὺς Γορτυνίους ἐκ ψυχῆς,
μνήμην τιμῆσαι ἑόρτιον,
χοροῦ Ἁγίων,
οἳ ὧδε ἐξήνθησαν.

Δόξα. Καὶ νῦν, Θεοτοκίον ὅμοιον.

Παναγία Ἄχραντε,
τοὺς Γορτυνίους,
σκέπε θείᾳ σκέπῃ σου,
ἀπὸ παντοίων πειρασμῶν,
ὅπως τιμῶσιν εἰκόνας σου,
ἅς Γορτυνία,
πλουτεῖ ὡς θησαύρισμα.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἱεράρχας τιμήσωμεν θαυμαστούς,
ἀσκητὰς οὓς περ ἔτεκεν τῷ Χριστῷ,
καὶ τοὺς νεομάρτυρας,
Γορτυνία ἡ εὔανδρος,
τοὺς ἀγῶνας τούτων,
καὶ ἆθλα μιμούμενοι,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἃ ὑπὲρ Δεσπότου ,
προθύμως ὑπήνεγκαν·
ὅπως ἐν τῷ βίῳ,
σχῶμεν τούτους μεσίτας,
καὶ πρέσβεις πρὸς Κύριον,
Ὃν ἠγάπησαν ἅπαντες,
καὶ ἐν Ὧι παριστάμενοι,
πληροῦνται τοῦ ἀκτίστου φωτός,
καὶ δωροῦνται ἄπειρα χαρίσματα,
τοῖς μετὰ πόθου τελοῦσιν,
αὐτῶν τὴν πανήγυριν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν,
τὸ πανάγιον ὄρος τὴν φωταυγῆ,
νεφέλην ὑμνήσωμεν,
τὴν οὐράνιον κλίμακα,
τὸν λογικὸν παράδεισον,
τῆς Εὔας τὴν λύτρωσιν,
τῆς οἰκουμένης πάσης,
τὸ μέγα κειμήλιον·
ὅτι σωτηρία ἐν αὐτῇ διεπράχθη,
τῷ κόσμῳ καὶ ἄφεσις,
τῶν ἀρχαίων ἐγκλημάτων,
διὰ τοῦτο βοῶμεν αὐτῇ·
Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ,
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,
τοῖς εὐσεβῶς προσκυνοῦσι,
τὸν πανάγιον τόκον σου.

Εὐλογητάρια. Ἡ Ὑπακοὴ καὶ οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου. Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'.
Δόξα. Ταῖς τῶν Ἀποστόλων.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχ. *Ἐλεῆσόν με ὁ Θεός...*
Ἀναστὰς ὁ Ἰησοῦς.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.

**Κανόνες· πρῶτον ὁ ἀναστάσιμος καὶ εἶτα τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς:**
*“Ὕμνοις τιμῶμεν προστάτας Γορτυνίας. Ἀ(θανάσιος)”.*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ἁρματηλάτην φαραώ.

Ὕμνοις ἐνθέοις καὶ ᾠδαῖς τιμήσωμεν,
πάντων Ἁγίων χορόν,
τῶν ἐν Γορτυνίᾳ,
ἐκλαμψάντων ἄριστα,
καὶ τῷ Χριστῷ προσπέσωμεν,
ὅπως τούτων πρεσβείαις,
λύσιν πταισμάτων δεξώμεθα,
καὶ ἁμαρτιῶν τὴν συγχώρησιν.

Μέγας ἐφάνης ἐκ παιδός θεόληπτε,
καὶ κεκλημένος Χριστῷ,
ὅλος πεπλησμένος,
Πνεύματος τῇ Χάριτι,
διὸ καὶ κατηξίωσαι,
Ἀθανάσιε πάτερ,
ποιμὴν γενέσθαι καὶ πρόεδρος,
Χριστιανουπόλεως ἔνδοξε.

Νικητικῶς τὰς ἡδονὰς ἐξέφυγες,
καὶ τὸν σταυρὸν τοῦ Χριστοῦ,
ἄρας σου ἐπ᾽ ὤμων,
πάτερ Διονύσιε,
εὐῶδες ὁλοκαύτωμα,

τῷ Κυρίῳ ἐτύθης,
πατριαρχεύσας τρισόλβιε,
Κωνσταντινουπόλεως ἄριστα.

Θεοτοκίον

Ὅλος ὑπάρχω ἐν δεινοῖς καὶ πταίσμασι,
καὶ τὸν Χριστόν μου λυπῶ,
καθ᾽ ἑκάστην ὥραν,
μὴ εἰδὼς μετάνοιαν,
διὸ Φιλοσοφίτισσα,
στάσιν δὸς τῶν κακῶν μοι,
ὅπως ὑπόλοιπον βίον μου,
δάκρυσιν διέλθω ὁ ἄθλιος.

᾿Ωιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἱερὰν πολιτείαν ἐπιποθῶν Ἅγιε,
Δημητσάναν τρέχων ἀφῆκας
καὶ προσελήλυθας,
ἐν τῇ Στροφάδων Μονῇ,
ἔνθα λαβὼν θεῖον Σχῆμα,
τῷ Χριστῷ συντέταξαι,
πάτερ Γρηγόριε.

Στολισθεὶς τὴν ψυχήν σου,
ταῖς ἀρεταῖς ὅσιε,
Λακεδαιμονίας ἐδείχθης,
ποιμὴν Θεόκλητε,
ἔνθα διέλαμψας,
ὡς ἀληθὴς ἱεράρχης,
καὶ σὴν ποίμνην ἤγαγες,
πρὸς φῶς τῆς γνώσεως.

Τῶν φρονίμων παρθένων,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὸ νηπτικὸν ἔχουσα,
μῆτερ Θεοδώρα τὰ βέλη,
σοφῶς ὑπήνεγκας,
συκοφαντίας δεινῆς,
καὶ τῇ σοῦ αἵματος χύσει,
μάρτυς ἀναδέδειξαι,
Βάστας τὸ καύχημα.

Θεοτοκίον

Ἵλεων μοι παράσχοις,
τὸν Λυτρωτὴν Πάναγνε,
ὅτι κατεσκότισμαι ὅλος,
ταῖς παραβάσεσι,
τοῦ θείου νόμου Αὐτοῦ,
καὶ ὡς μὴ ἔχων ἐλπίδα,
σοὶ προσφεύγω Δέσποινα,
Κερνιτσιώτισσα.

Κοντάκιον καὶ Οἶκος ἀναστάσιμα.

Εἶτα Κάθισμα. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Τῶν ἀρχαίων Ἁγίων ἐκμιμησάμενοι,
τοὺς ἀγῶνας καὶ ἆθλα καλῶς ἐστέφθητε,
Ἱεράρχαι θαυμαστοὶ καὶ Νεομάρτυρες,
σὺν Ὁσίοις ἀσκηταῖς,
Γορτυνίας οἱ βλαστοί,
ἣν περιέπετε πάντες,
εὐχαῖς ὑμῶν ταῖς ἁγίαις,
τὸ ἀντιμίσθιον παρέχοντες.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε,
χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα,
ἡ μετάγουσα θνητούς,
πρὸς τὴν αἰώνιον ζωήν·
χαῖρε ἀκήρατε Κόρη,
ἡ ἀπειράνδρως τεκοῦσα,
τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὠιδὴ δ'. Σύ μου ἰσχύς, Κύριε.

Μνήμην Θεοῦ πλοῦτόν σου,
θεωρήσας,
πάνσοφε Γεράσιμε,
καὶ κοσμικάς,
φεύγων ἡδονάς,
ὡς στρουθὸς Κυρίου,
ἐν Μακρυνίτσῃ ἐμάκρυνας,
καὶ ἤγειρας σεμνεῖον,
ἔνθα πλήθη παρθένων,
σωτηρίαν βεβαίαν ἐκτήσαντο.

Ὥραν φρικτὴν Κρίσεως,
πρὸ ὀμμάτων,
ἔχων σου Λεόντιε
ἀσκητικὴν ἤνυσας ὁδόν,
καὶ θαυματουργίαις
κατεκοσμήθη ὁ βίος σου·
δι᾽ οὗ τοὺς Γορτυνίους,
εἰς ὁδὸν τοῦ Κυρίου,
πατρικῶς καθωδήγεις πανόσιε.

Μάρτυς ὁμοῦ ἅγιε,
ἱερεύς τε ἀνεδείχθης τίμιος,
ὦ Ρωμανέ,
πλάνην ζοφεράν,

Ἄγαρ ἐξελέγξας,
καὶ τοῦ Κυρίου θεότητα,
ἐνώπιον τυράννων,
δυσσεβῶν ἐκ καρδίας,
παῤῥησίᾳ κηρύξας μακάριε.

Θεοτοκίον

Ἐν πειρασμοῖς Δέσποινα,
πρόμαχον ἔχομεν,
σὴν εἰκόνα,
ὦ Αἰμυαλίτισσα
καὶ εὐλαβῶς ῥίπτομεν αὐτῇ,
πάσας τὰς αἰτήσεις,
λύσιν αἰτούμενοι σύμφορον,
εἰδότες τὴν ἀγάπην,
ἣν παρέχεις σοῖς τέκνοις,
καὶ ταχέως προφθάνεις Πανάμωμε.

Ὠιδὴ ε'. Ἱνατί με ἀπώσω.

Νεαρὰν ἡλικίαν,
καὶ σειρῆνες τοῦ βίου οὐκ ἠδυνήθησαν,
τὴν ὁρμὴν ψυχῆς σου,
κατασβέσαι Εὐθύμιε ἔνδοξε,
ἀλλὰ τῷ Κυρίῳ,
θῦμα ἐτύθης καὶ πατρίδος,
ἀνεδείχθης χαρὰ καὶ ἐγκαύχησις.

Πείρᾳ γνοὺς τοῦ Κυρίου,
τὸν γλυκύτατον ἔρωτα Ἀθανάσιε,
ὅλος ἐπεδόθης,
εἰς Αὐτοῦ λειτουργίαν θεόδεκτον,
ὅθεν θαυμασίοις,
ἐπλούτισέ σε παραδόξοις,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ σημείοις Πατὴρ ὁ οὐράνιος.

Ῥητορεύουσαν γνῶσιν,
καὶ σοφίαν τοῦ κόσμου τὴν ἀνωφέλευτον,
πάτερ ἀπηρνήσω,
τὴν μωρίαν Χριστοῦ ἐκλεξάμενος,
Ὅς ἐτίμησέ σε,
Βασιλευούσης ἐπὶ θρόνου,
ἀγαγὼν Διονύσιε Πόλεως.

Θεοτοκίον

Οἱ ἐν ζάλαις τοῦ βίου,
πάντοθεν κυκλούμενοι σοὶ καταφεύγομεν,
ὅτι ὡς καλάμην,
ὁ ἐχθρὸς καταβάλλει τὴν δύναμιν·
ὅθεν Θεοτόκε,
Καλαμιώτισσα αἰτοῦμεν,
τὴν θερμὴν πρὸς Χριστὸν ἱκεσίαν σου.

Ὠιδὴ Ϛ'. Ἱλάσθητί μοι, Σωτήρ.

Σωτηριώδους φθογγῆς,
τὸ μέλος πάτερ Θεόκλητε,
ὡς θεῖος ἀρχιερεύς,
ἠρεύξω τοῖς τέκνοις σου,
ἅπερ καθωδήγησας,
πρὸς νομὰς τὰς θείας,
καὶ εἰρήνην τὴν αἰώνιον.

Τοῖς ἔργοις σου τὴν σφοδράν,
δεικνὺς ἀγάπην πρὸς Κύριον,
Γρηγόριε εὐθαρσῶς,
ἀγχόνῃ παρέδωκας,
σεαυτὸν ὡς πρόβατον,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ τὴν Ἐκκλησίαν,
κατεπότισας σῷ αἵματι.

Ἀνάψασα τῆς ψυχῆς,
τὸν λύχνον Μῆτερ πανεύφημε,
Νυμφίον σου τὸν Ἁγνόν,
σοφῶς ὑποδέδεξαι,
Ὧι ὡς προῖκα δέδωκας,
αἷμα καθαρόν σου,
Θεοδώρα Βάστας βλάστημα.

Θεοτοκίον

Τεκοῦσα ὕδωρ ζωῆς,
Θεοκυῆτορ Πανάμωμε,
Χρυσοπηγὴ ἀληθῶς,
ὑπάρχεις καὶ κέκλησαι,
διὸ τοὺς τιμῶντάς σου,
πόθῳ τὴν εἰκόνα,
ἐν Στεμνίτσῃ σκέπε πάντοτε.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῆς Γορτυνίας τὰ θεόδρεπτα χίδρα,
εὐφραντικῶς ὁμοῦ πιστοὶ συντιμῶμεν,
Ποιμένας Νεομάρτυρας καὶ θείους Ἀσκητάς,
τούτων ἐκδεχόμενοι,
τὰς ἁγίας πρεσβείας,
πρὸς τὸν ἐπουράνιον,
Βασιλέα βοῶντες·
ἐνεγκαμένην φύλαττε ἀεί,
ὁ τοὺς Ἁγίους,
ἡμῖν χαρισάμενος.

**Ὁ Οἶκος**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Υἱικῶς εὐφημοῦμεν προπάτορας,
οὓς Χριστὸς θείῳ στέφει κατέστεψεν,
καὶ ὁρῶντες αὐτῶν τὰ ἀθλήματα,
πρὸς ἐκμίμησιν πάντες κινούμεθα,
ῥάδιον γὰρ κτώμεθα τὴν ἀρετήν,
ζῶντα ἔχοντες ὑποδείγματα·
διὸ οἱ Γορτύνιοι σύμψυχοι ὀφειλητικῶς
τοὺς τετιμημένους σήμερον τιμῶμεν,
ὅπως λάβωμεν χάριν καὶ εὕρωμεν ἔλεος,
εἰς εὔκαιρον βοήθειαν τοῦ βίου,
βοῶντες ἐκ καρδίας τῷ Παντευεργέτῃ Χριστῷ·
δόξα σοι, Δέσποτα, δόξα σοι,
ὁ τοὺς Ἁγίους,
ἡμῖν χαρισάμενος.

*Τὸ Συναξάριον*

**Τῇ αὐτῇ ἡμέρᾳ, πρώτῃ Κυριακῇ τοῦ μηνὸς Ὀκτωβρίου, τὴν σύναξιν ἑορτάζομεν πάντων τῶν ἐν Γορτυνίᾳ Ἁγίων, ἤτοι· Διονυσίου Α', τοῦ Σοφοῦ, πατριάρχου Κωνσταντινουπόλεως, Ἀθανασίου ἐπισκόπου Χριστιανουπόλεως τοῦ θαυματουργοῦ, Θεοκλήτου ἐπισκόπου Λακεδαιμονίας, Γρηγορίου Ε' πατριάρχου Κωνσταντινουπόλεως τοῦ ἱερομάρτυρος, ὁσιοπαρθενομάρτυρος Θεοδώρας τῆς ἐν Βάστᾳ, ὁσίου Λεοντίου Στεμνιτσιώτου, Γερασίμου ὁσίου τοῦ ἐκ Λεονταρίου, Ρωμανοῦ τοῦ νέου ὁσιοϊερομάρτυρος καὶ Εὐθυμίου Δημητσανίτου τοῦ νεομάρτυρος.**

Στίχοι

*Γοργοὺς πρὸς Θεὸν πρέσβεις ὑμᾶς κατέχει,*
*Ἅγιοι Γορτύνιοι, ἡ Γορτυνία.*

**Ὑπόμνημα σύντομον**

Τούτων τῶν θεοφυτεύτων Ἁγίων τῆς Γορτυνίας:

www.tezaurliturgic.ro



Διονύσιος, ὁ ἐπικεκλημένος σοφός, ἐκ τῆς Δημητσάνης καταγόμενος, πμευματικὸν ἀνάστημα τοῦ ἐν ἁγίοις Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ, δὶς ἐπατριάρχευσεν θεοφιλῶς τοῦ πανσέπτου Οἰκουμενικοῦ Θρόνου τῆς Κωνστανινουπόλεως καὶ παραιτηθεὶς ἐξεμέτρησεν ὁσιακῶς τὸ ζῆν ἐν τῇ Ἱερᾷ Μονῇ Παναγίας Εἰκοσιφοινίσσης, κατὰ τὰ τέλη τοῦ ΙΕ' αἰῶνος.

Ἀθανάσιος ὁ Χριστιανουπόλεως, ἐκ Κερκύρας ἕλκων τὴν καταγωγήν, ζήσας ἐν ἁγιότητι βίῳ κατὰ τὰ μέσα τοῦ ΙΖ' αἰῶνος, ἀνεδείχθη εἰς χριστόνουν ποιμενάρχην τῆς Πελοποννησιακῆς Χριστιανουπόλεως ἔνθα πολλὰς θαυματουργίας ἐποίησεν. Τούτου τὰ θεῖα λείψανα φυλασσόμενα ἐν τῇ Ἱερᾷ Μονῇ Τιμίου Προδρόμου Γορτυνίας εὐωδίαν πνευματικὴν ἐκβλύζουσι καὶ θαύματα πολλὰ ἐπιτελοῦσι τοῖς εὐσεβέσιν.

Θεόκλητος ὁ Λακεδαιμονίας, Δημητσανίτης τὴν καταγωγήν, ἐν ἁγιότητι βίου τὸ πρότερον ἀσκητεύσας ἐν τῇ Ἱερᾷ Μονῇ Φιλοσόφου, εἶτα ποιμὴν θεοκέλευστος ἐχρημάτισεν ἐν Λακεδαιμονίᾳ.

Γρηγόριος ὁ Ε', ὁ ἐκ Δημητσάνης ἔνδοξος νέος ἱερομάρτυς,πρῶτον Μητροπολίτης Σμύρνης γενόμενος καὶ εἶτα δὶς πατριαρχεύσας ὄντωςπ ἐν μέσῳ λύκων εἰς Βασιλεύουσαν, τῇ 10η Ἀπριλίου 1821, ἡμέρᾳ τοῦ ἁγίου Πάσχα, ἀγχόνῃ παρὰ τῶν ἀσεβῶν τούρκων ἐτελειώθη.

Γεράσιμος ὁ ὅσιος, ἐκ Λεονταρίου Μεγαλουπόλεως, ὁσίως πολιτευθεὶς καὶ πολλὰς χώρας καὶ κώμας διελθών, ἐν τέλει ἵδρυσεν περίφημον Μονὴν ἐν Μακρυνίτση Πηλίου, φῶς Χριστοῦ καταστὰς κατὰ τὰ τέλη τοῦ ΙΣΤ' αἰῶνος τοῖς ὑπὸ τὴν φρικτὴν δουλείαν τελοῦσι Χριστιανοῖς.

Θεοδώρα ἡ ἁγία ὁσιοπαρθενομάρτυς, ἐκ Βάστας Μεγαλουπόλεως, συκοφαντηθεῖσα ὡς ἀνήθικος, ἐγένετο θῦμα τῆς σεμνῆς παρθενίας καὶ ἐτελειώθη μαρτυρικῶς τῇ 11η Σεπτεμβρίου· εἰς τὸν τόπον τοῦ μαρτυρίου αὐτῆς τὰ μεγαλεῖα Κυρίου ἐκδιηγοῦνται διηνεκῶς τὰ παραδόξως φυόμενα δένδρα ἐπὶ τῆς στέγης τοῦ μικροῦ ἐκκλησιδίου - μαρτυρίου τῆς ὁσιοπαρθενομάρτυρος.

Λεόντιος, ὁ ἐκ Στεμνίτσης ὅσιος πατὴρ ἡμῶν, ἐν ἀσκήσει πολλῇ διελθὼν ἅπαντα τὸν σπηλαιώδη βίον αὐτοῦ ἐν τῷ νῦν χωρίῳ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Βλαχέρνᾳ καὶ θαύμασιν κοσμηθεὶς παρὰ Κυρίου ἐν εἰρήνῃ μετέβη εἰς Ὃν ἠγάπησεν Δεσπότην κατὰ τὰ μέσα τοῦ ΙΗ' αἰῶνος.

Ρωμανὸς ὁ νέος ὁσιοϊερομάρτυς τοῦ Χριστοῦ, ἐκ Δημηνίτζης (ὀρθότερον ἐκ Στεμνίτσης) καταγόμενος, ὡμολόγησεν καλῶς τὴν τοῦ Λόγου θεότητα πρὸ τῶν ἀσεβῶν μωαμεθανῶν ἐν Βασιλευούσῃ, ἔνθα καὶ ἀπετμήθη τὴν κεφαλὴν κατὰ τὸ ἔτος 1695.

Εὐθύμιος, τέλος, ὁ ἔνδοξος καὶ καλλίνικος νεομάρτυς, ἐν Δημητσάνῃ γεννηθείς, ἐν Ἁγίῳ Ὄρει ἀσκήσας καὶ ἐν Κωνσταντινουπόλει μαρτυρήσας τῇ 21ῃ Μαρτίου 1814, Κυριακῇ τῶν Βαΐων, συμπληροῖ τὸν ἐννεάριθμον χορὸν τῆς ἐν Γορτυνίᾳ τοπικῆς Ἐκκλησίας.

*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Παῖδες ἑβραίων.

Ἄνω ἀεὶ τὸν νοῦν σου ἔχων,
κατεμάκρυνας,
Γεράσιμε πατρίδος,
καὶ ἀσκήσει σκληρᾷ,
τὸν βίον σου περάνας,
στέφος τῆς ὁσιότητος,
κατεστέφθης ἐκ Κυρίου.

Στόμα ἐχθροῦ λεωντωνύμου,
πάτερ ἔκλεισας,
Λεόντιε εὐχαῖς σου,
καὶ ὡς φῶς τοὺς πιστούς,
ὡδήγεις τῷ Κυρίῳ,
θαυμάτων συνεργούντων σοι,
διδαχαῖς ψυχωφελέσι.

Γέρας Νεομαρτύρων ὤφθης,
καὶ πατρίδος σου,
καύχησις ἐν Κυρίῳ,
Ρωμανὲ θαυμαστέ,
ὅτε ἐξιφοτμήθης,
θεολογήσας ἄριστα,
πρὸ ἀπίστων κενολόγων.

Θεοτοκίον

Ὅλον τὸν βίον μου διῆλθον,
Τριχεροῦσά μου,
πλανώμενος ἐννοίαις,
διὸ χεῖρά μοι δός,
σῆς μητρικῆς ἀγάπης,
ἡ ἐν Μονῇ σκηνώσασα,
Θεοτόκε Φιλοσόφου.

Ὠιδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ.

Ῥίψας πάντα,
τὰ θέλγητρα τοῦ κόσμου,
συνηνώθης,
Χριστῷ τῷ μαρτυρίῳ·
διὸ δίδου ἡμῖν,
βοήθειαν ἐξ ὕψους,
χριστόστεπτε Εὐθύμιε,
Δημητσάνης θεῖε γόνε.

Τὴν δυάδα
Πατριαρχῶν ἐνθέων,
ἀνυμνήσωμεν,
Γρηγόριον τὸν πάνυ,
τὸν ἀγχόνῃ δεινῇ,
τελέσαντα τὸν βίον,

συνάμα Διονύσιον,
τὸν σοφὸν κλήσει καὶ πράξει.

Ὕμνους δέχου,
Θεόκλητε θεόφρον,
Λακεδαίμονος,
ποιμὴν πνευματοφόρε,
καὶ σὺ κλέος τερπνόν,
ἁπάντων Γορτυνίων,
παμμάκαρ Ἀθανάσιε,
τῶν θαυμάτων θεία βρύσις.

Θεοτοκίον

Νίκην δίδου,
κατὰ τοῦ ἀντιπάλου,
πολεμοῦντός με,
ἀπὸ νεότητός μου·
εἰ γὰρ θέλεις Ἁγνή,
δύνασαι βοηθῆσαι,
σεμνὴ Βαλτσενικιώτισσα,
Γορτυνίων σωτηρία.

Ὠιδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰάματα λαμβάνοντες ἐξ ὑμῶν,
καὶ ἐλπίδι στομούμενοι τρέχομεν,
ὅπως Χριστόν,
εὕρωμεν τὸ μόνιμον ἀγαθόν,
Ὅνπερ ὑμεῖς ἐφεύρατε,
Ἅγιοι Γορτύνιοι ἀσφαλῶς,
καὶ νῦν παρακαλεῖτε,
ὑπὲρ κοινῆς πατρίδος,
καὶ χριστωνύμων φιλοπάτριδες.

῾Αγίους καὶ οἰκείους ἐν τῇ Σιών,
τῇ ἀφθάρτῳ πλουτοῦντες Γορτύνιοι,
μακαρισμόν,
ἔχομεν προφήτου τοῦ παλαιοῦ,
καὶ γὰρ αὐτοὶ οὐ παύονται,
δέησιν προσάγειν ὑπὲρ ἡμῶν,
τῶν πόθῳ ἐκτελούντων,
τὴν μνήμην τὴν φωσφόρον,
καὶ αἰτουμένων τὴν βοήθειαν.

Σιγάτω πᾶσα μοῦσα ἀρχαϊκή,
ὅτι στόμα ἐλάλησεν ἄψευστον,
τοῦ ᾿Ιησοῦ·
τοὺς δοξάζοντάς με εἰλικρινῶς,
ἀντιδοξάσω κλέϊσιν,
καὶ ζωὴν παράσχω τὴν ἀληθῆ.
῏Ων ῞Αγιοι τυχόντες,
προστάται Γορτυνίας,
ἡμῶν ἀεὶ μὴ ἐπιλάθεσθε.

Θεοτοκίον

᾿Αγάπην σου εἰδότες τὴν μητρικήν,
ἐξαιτούμεθα ταύτην Πανάχραντε,
ὅταν Χριστός,
ἔλθῃ ἵνα κρίνῃ πᾶσαν τὴν γῆν,
καὶ φανερώσῃ ἅπαντα,
ὦ Κλειβωκιώτισσα ἀγαθή,
τὰ ἔργα καὶ τὰς πράξεις,
ἀποδιδοὺς ἑκάστῳ,
τὴν Βασιλείαν ἢ τὴν κόλασιν.

᾿Εξαποστειλάριον
Πρῶτον τὸ ἀναστάσιμον εἶτα τῶν ῾Αγίων, ὅμοιον.

Ἦχος β'. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ὡς ἀπαρχὰς προσάγομεν,
τὸν χορὸν τῶν Ἁγίων,
οὓς Γορτυνία ἤνθησε,
τῷ Κυρίῳ βοῶντες·
Δέσποτα δίδου λύσιν,
τῶν πταισμάτων καὶ χάριν,
τῇ φιλανθρώπῳ γνώμῃ σου,
πᾶσι πιστοῖς,
ὡς μεσίτας φέρουσι τοὺς σοὺς δούλους,
οὕς περ καλῶς κατέστεψας,
ἁγιότητος στέφει.

Θεοτοκίον, ὅμοιον.

Τριάδος Κόρη τέτοκας,
ἀποῤῥήτως τὸν ἕνα,
διπλοῦν τῇ φύσει πέλοντα,
καὶ διπλοῦν ἐνεργείᾳ,
καὶ ἕνα τῇ ὑποστάσει,
τοῦτον οὖν ἐκδυσώπει,
ἀεὶ ὑπὲρ τῶν πίστει σε,
προσκυνούντων ἐκ πάσης, ̓
ἐπιβουλῆς,
τοῦ ἐχθροῦ λυτρώσασθαι ὅτι πάντες,
πρὸς σὲ νῦν καταφεύγομεν,
Δέσποινα Θεοτόκε.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν δ' στιχηρὰ ἀναστάσιμα καὶ δ' προσόμοια τῶν Ἁγίων.
Ἦχος πλ. δ'. Ὤ! τοῦ παραδόξου θαύματος.

Ὡς μήτηρ χαίρει καλίτεκνος,

ἡ Γορτυνία Χριστῷ,
τοὺς Ἁγίους προσάγουσα,
οἵτινες ἐβλάστησαν,
ἐξ αὐτῆς καί ἐστέφθησαν,
τῷ ἀμαράντῳ τῆς ἁγιότητος,
στέφει καὶ ἤδη ἐπαναπαύονται,
ἔνθα οἱ δίκαιοι,
τὸν μισθὸν λαμβάνοντες τῆς ἑαυτῶν,
μαρτυρίας ἕκαστος,
καὶ ἐπαγάλλονται.

Ἀθανασίας ἐπώνυμε,
τὴν Γορτυνίαν ἀεί,
τοῖς λειψάνοις σου φρούρησον,
ἐν Προδρόμου κείμενα,
τῇ Μονῇ ὡς θησαύρισμα,
καὶ σὺν ποιμένι τῆς Λακεδαίμονος,
τῷ Θεοκλήτῳ Χριστὸν ἱκέτευε,
ὅπως τὴν ἄφεσιν,
τῶν πταισμάτων δῷ ἡμῖν τοῖς εὐλαβῶς,
μνήμην ἑορτάζουσιν,
ὑμῶν τὴν εὔσημον.

Τῆς Δημητσάνης τὰ ἔκγονα,
Πατριαρχῶν ἡ δυάς,
ὁ σοφὸς Διονύσιος,
καὶ κλεινὸς Γρηγόριος,
σὺν αὐτοῖς καὶ Εὐθύμιος,
ὁ νεομάρτυς κατηξιώθησαν,
ἐπουρανίου δόξης ὡς δίκαιον,
καὶ ἱκετεύουσι,
τὴν Τριάδα πάντοτε ὑπὲρ ἡμῶν,
πρέσβεις ἀκαταίσχυντοι,
Χριστῷ τυγχάνοντες.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Χαίροις Λεόντιε ὅσιε,
καὶ Θεοδώρα σεμνή,
γέρας θεῖον Γεράσιμε,
Ρωμανὲ πανάριστε,
Γορτυνίας ἐκθρέμματα·
ὑγείαν δότε ψυχῆς καὶ σώματος,
τοῖς ἐκτελοῦσιν ὑμῶν πανήγυριν,
καὶ ἀξιώσατε,
Βασιλείας Ἅγιοι τοῦ οὐρανοῦ,
πάντας τοὺς γεραίροντας,
ὑμᾶς ἐν ᾄσμασι.

Δόξα. Ἦχος πλ.δ'.

Τοῖς ἴχνεσι Χριστοῦ ἀκλινῶς πορευόμενοι,
τῆς ἁγιότητος αὐτοῦ ἐνεργῶς μετειλήφατε,
ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι,
Ἅγιοι ἐννεάριθμοι τῆς Γορτυνίας.
Κληρωσάμενοι δὲ πάντες,
τὴν ἄνω Ἱερουσαλὴμ τὴν ἀσάλευτον,
ἐν παῤῥησίᾳ τῇ Τριάδι πρεσβεύετε ἀπαύστως,
ὑπὲρ ἡμῶν τῶν κατὰ σάρκα καὶ πνεῦμα οἰκείων,
ὅπως τύχωμεν καλῶς τῆς σωτηρίας
καὶ εὕρωμεν σὺν ὑμῖν ζωὴν τὴν αἰώνιον.

Καὶ νῦν. Ὑπερευλογημένη.

Δοξολογία μεγάλη κτλ. ὡς συνήθως.

Μεγαλυνάριον

Χαίρετε ἐν δόξῃ φανοὶ λαμπροί,
οἱ τῆς Γορτυνίας,
ἀντιλήπτορες καὶ φρουροί,
χαίροις τῶν Ἁγίων ἐννάριθμε λυχνία,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

φωτίζουσα τοὺς πίστει,
σὲ μακαρίζοντας.

Ἕτερον, νεοσύνθετον

Τῶν ᾿Αρχιερέων θεῖος χορός,
᾿Ασκητῶν ῾Οσίων,
καὶ Μαρτύρων νέων Χριστοῦ,
οἱ ἐκ Γορτυνίας,
ἐκλάμψαντες πρεσβείαν,
ποιήσατε ἀπαύστως,
πρὸς τὸν Φιλάνθρωπον.

Στίχοι

*᾿Ενεγκαμένην φυλάττετ᾿ εὐσεβοῦσαν,*
*῞Αγιοι χριστόστεπτοι, τῆς Γορτυνίας.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ